καὶ ταύτῃ μᾶλλον ἢ ἐκείνοις γεγηθὼς καὶ κοσμούμενος, ὡς ὁ πολὺς ἐν μέσῳ χρόνος ἐναργὲς αὐτὸ σαφῶς παρεστήσατο· οὗτος, ἐπειδὴ τὴν κατὰ τὴν Ραιδεστὸν οἰκίαν ἑαυτοῦ, καὶ τὰ κατὰ τὸ θέμα Θρᾴκης καὶ Μακεδονίας αὐτῷ ἐπικτηθέντα καὶ διαφέροντα πρὸς αὐτῇ τούτῳ κτήματα, πᾶσιν εἰς διαρπαγήν ποτε καὶ συντριμμὸν τοῖς ἐπηρεασταῖς ὑπώπτευεν ὁσημέραι προκεῖσθαι, καὶ μεγάλην ὑπ᾿ αὐτῶν τὴν βλάβην οὐκ ἐνδίκως ὑφίστασθαι, δέησιν ὑπὲρ αὐτῶν θερμὴν ἀνήνεγκε τῇ βασιλείᾳ μου, καὶ διὰ χρυσοβούλλου λόγου ταύτης τὸ ἀνεπηρέαστον αὐτοῖς περιγενέσθαι λιπαρῶς ἐξῃτήσατο· καὶ αὕτη προθυμοτέρα εἰς τοῦτο ἢ ἐκεῖνος πρὸς τὴν αἴτησιν, εὐμενῶς ἐπινεύσασα, τὸν παρόντα χρυσόβουλλον λόγον τούτῳ βασιλικῶς ἐπεβράβευσεν· ὑφ᾿ οὗ θεσπίζει καὶ διορίζεται, πάσης ἐπηρεαστικῆς χειρὸς αὐτήν τε τὴν οἰκίαν τούτου σὺν τοῖς ἐνοικικοῖς κατὰ τὰ εὐλόγως ἐν τοῖς δηλωθεῖσι θέμασιν ἐπικτηθέντα καὶ διαφέροντα τούτῳ κτήματα, ὁπόσα δηλαδὴ καὶ ὁποῖα καθέστηκεν, ἀνώτερα τυγχάνειν καὶ ἀπρόσψαυστα, κἂν καὶ εἰς ἐπαύξησιν ὅτι πλείστην τῷ χρόνῳ προϊόντι ἐπιδοῖεν ἴσως· καὶ μήτε κριτῶν, ἢ πρακτόρων, ἢ στρατευτῶν, ἢ ὀρθωτῶν, ἢ ἐποπτῶν, ἢ ἀναγραφέων, ἢ καὶ φορολόγων οἱωνδήτινων καὶ τῶν ὑπ᾿ αὐτοὺς ἁπάντων δεδοικέναι ταῦτα καὶ τοὺς ἐν αὐτοῖς προσκαθημένους τὴν ἐν τούτοις προσβολὴν καὶ μόνην, ἀλλὰ πρὸς τῷ τούτοις ἅπαντα ἀπὸ τοῦ παρόντος κατὰ τὸ διηνεκὲς τηρεῖσθαι ὅλως ἀνεπίβατα, καὶ τῶν ἄλλων ὅλων εἶναι καθυπερτεροῦντα τέλεον, καὶ πάσης ἀπολαύειν ἐλευθερίας καὶ ἀνέσεως μετὰ τὴν σήμερον, κἄν τε ὑπὸ ἰδιωτικοῖς καὶ κοσμικοῖς τελοῖεν δικαίοις, κἄν τε ὑπὸ ἐκκλησιαστικοῖς ἐξ ἀφιερώσεως καὶ μοναχικοῖς ἢ εὐαγέσι ψυχικοῖς, μόνα δὲ παρέχειν τὰ ἕως ἄρτι ἀπ᾿ αὐτῶν ἀν᾿ ἔτος εἰσπραττόμενα, εἴτε δημόσια τυχὸν εἶεν εἴτε καὶ ἀλλοῖα οἱαδήποτε τελέσματα, ἐφ᾿ οὓς κατὰ καιρὸν ἄχρι καὶ εἰς δεῦρο παρείχετο· νέῳ δὲ ἢ καινοφανεῖ βάρει ἐπηρείας καὶ καινοτομίας ἢ μικρᾶς·